esse iustitiam, quam cæteræ omnes virtutes necessariò consequuntur. atqui & plures ad pauciores: nam & potentiores & ditiores & meliores sunt, vt susceptis pluribus ad pauciores, An ergo, si omnes isti forent in vna ciuitate, ceu boni, & diuites & nobiles, essétque alia multitudo populi, vtrum in dubium veniret, quibus gubernatio reipublicæ foret tribuenda, an non esset dubium? In vnaquaque igitur republica earum quas diximus, indubitatum est iudicium, quinam debeant gubernare. principatibus enim inter se differunt, ceu aliqua quatenus per diuites sunt, alia quatenus per studiosos, & aliarum vnaquæque eodem modo. Sed tamen considerandum est, quando circa idem tempus ista existũt, quomodo sit determinandum: nempe si studiosi sint in ciuitate admodum pauci, quomodo est agendum. An considerare oporteat si pauci ad opus gubernãdi rempublicam sufficiant, an tot esse oporteat, vt ex his ciuitas constet. Est autem dubitatio quædam in cũctis, qui de honoribus in republica contendunt. Nam qui vel propter diuitias, vel propter genus gubernationem sibi tribuendam putant, nihil iustè dicere viderentur. sequeretur enim, vt si quis vnus omnium ditissimus foret, is eodem iure gubernare alios omnes deberet. eodem modo qui nobilitate antecelleret, eorum gubernator esset, qui cum ipsi sint ingenui, de honore contendunt. Hoc idem forsan contingeret in optimatum gubernatione circa virtutem. Siquis enim vnus probitate antecellat aliis, qui in eadem republica versentur, hunc dominari oportebit secundum illam rationem. ergo si & multitudinem dominari oportet ex eo, quia potentior est quàm pauci, etiam si vnus vel plures vno, pauciores tamen quàm multitudo, potentiores sint aliis, hos oportebit gubernare potius quàm multitudinem. Hæc itaque omnia videntur ostendere, quòd harum determinationum nulla est recta, secundum quam censent sibi quisque gubernationem esse tribuendam, cæteros verò omnes sub eorum gubernatione esse debere. Nam profectò & ad eos qui per virtutem sibi arrogant gubernandi autoritatem, & ad eos qui per diuitias, respõdere posset multitudo iustum sermonem. nihil enim vetat multitudinem quandoque meliorem esse quàm pauci, ac ditiorem, non secundum singulos, sed secundum vniuersos.

A τὴν δικαιοσύνην, ᾗ πάσας ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας. ἀλλὰ μὴν καὶ οἱ πλείους πρὸς τοὺς ἐλάττους. καὶ γὰρ κρείττους καὶ πλουσιώτεροι καὶ βελτίους εἰσίν, ὡς λαμβανομένων τῶν πλειόνων πρὸς τοὺς ἐλάττους. ἆρ' οὖν εἰ πάντες εἶεν ἐν μιᾷ πόλει· λέγω δ' οἷον οἵ τ' ἀγαθοὶ, καὶ οἱ πλούσιοι καὶ εὐγενεῖς, ἔτι δὲ πλῆθος ἄλλο τι πολιτικόν. πότερον ἀμφισβήτησις ἔσται, τίνας ἄρχειν δεῖ,
B ἢ οὐκ ἔσται; καθ' ἑκάστην μὲν οὖν πολιτείαν τῶν εἰρημένων, ἀναμφισβήτητος ἡ κρίσις τίνας ἄρχειν δεῖ. τοῖς γὰρ κυρίοις διαφέρουσιν ἀλλήλων· οἷον ἡ μὲν, τῷ διὰ πλουσίων· ἡ δὲ, τῷ διὰ τῶν σπουδαίων ἀνδρῶν εἶναι. καὶ τῶν ἄλλων ἑκάστη τὸν αὐτὸν τρόπον. ἀλλ' ὅμως σκοποῦμεν ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρόνον, πῶς διοριστέον. εἰ δὴ τὸν ἀριθμὸν
C εἶεν ὀλίγοι πάμπαν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνα δεῖ διελεῖν [τὸν] τρόπον; ἢ τὸ Ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ διοικεῖν τὴν πόλιν· ἢ τοσοῦτοι τὸ πλῆθος, ὥστ' εἶναι πόλιν ἐξ αὐτῶν; ἔστι δὲ ἀπορία τις πρὸς ἅπαντας τοὺς διαμφισβητοῦντας περὶ τῶν πολιτικῶν τιμῶν. δόξαιεν γὰρ οὐδὲν λέγειν δίκαιον οἱ διὰ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν· ὁμοίως δὲ καὶ οἱ κατὰ γένος· δῆλον γὰρ, ὡς εἴ τις πά-
D λιν εἷς πλουσιώτερος ἁπάντων ἐστὶ, δηλονότι κατὰ τὸ αὐτὸ δίκαιον τοῦτον ἄρχειν τὸν ἕνα ἁπάντων δεήσει· ὁμοίως δὲ καὶ τὸν εὐγενείᾳ διαφέροντα, τῶν ἀμφισβητούντων δι' ἐλευθερίαν. ταὐτὸ δὲ τοῦτ' ἴσως συμβήσεται καὶ περὶ τὰς ἀριστοκρατίας ἐπὶ τῆς ἀρετῆς. εἰ γάρ τις εἷς ἀμείνων ἀνὴρ εἴη τῶν ἄλλων, τῶν ἐν τῷ πολιτεύματι σπουδαίων ὄντων, τοῦτον εἶναι δεῖ κύριον κατὰ ταὐτὸ δίκαιον. οὐκοῦν
E εἰ καὶ τὸ πλῆθος εἶναί γε δεῖ κύριον, διότι κρείττους εἰσὶ τῶν ὀλίγων, κἂν εἷς, ἢ πλείους μὲν τοῦ ἑνὸς, ἐλάττους δὲ τῶν πολλῶν, κρείττους ὦσι τῶν ἄλλων, τούτους ἂν δέοι κυρίους εἶναι μᾶλλον, ἢ τὸ πλῆθος. πάντα δὴ ταῦτ' ἔοικε φανερὸν ποιεῖν, ὅτι τούτων τῶν ὅρων οὐδεὶς ὀρθός ἐστι, καθ' ὃν ἀξιοῦσιν αὐτοὶ μὲν ἄρχειν, τοὺς δ' ἄλλους ὑπὸ σφῶν ἄρχεσθαι πάντας. καὶ γὰρ δὴ καὶ πρὸς τοὺς κατ' ἀρετὴν ἀξιοῦντας
F κυρίους εἶναι τοῦ πολιτεύματος, ὁμοίως δὲ καὶ [πρὸς] τοὺς κατὰ πλοῦτον ἔχοιεν ἂν λέγειν τὰ πλήθη λόγον τινὰ δίκαιον· οὐδὲν γὰρ κωλύει ποτὲ τὸ πλῆθος εἶναι βέλτιον τῶν ὀλίγων καὶ πλουσιώτερον, οὐχ ὡς καθ' ἕκαστον, ἀλλ' ὡς ἀθρόους.

διὸ καὶ